ὑφὲν ποιεῖν ὡς ἀποδοῦναι οἷον τετραπλᾶ· παντὶ
τῷ αἰτοῦντί σε δίδου· καὶ ἀπὸ τοῦ αἴροντος
τὰ σὰ μὴ κωλύσῃς· καὶ τὸν θέλοντα δανείσασθαι
ἀπὸ σοῦ μὴ ἀποστραφῇς· ταῦτα δὲ ἀνικῶς ἐστι·
περιεκτικώτερον δὲ ἐπὶ τούτοις, τὸ πωλῆσαί σου
τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς· καὶ ἆρον
τὸν σταυρόν σου καὶ δεῦρο ἀκολούθει μοι· σταυρὸν
λέγων, τὴν πρὸς τὰ ἐπερχόμενα ὑπομονήν.
Ὥσπερ οὖν καὶ τὸ διαδοῦναι πτωχοῖς καὶ ἆραι
τὸν σταυρὸν αὐτοῦ πάσας τὰς ἐντολὰς
τὰς προειρημένας, ἐφάπαξ ἐποίησε·
καὶ πάλιν· βούλομαι φησὶ προσεύχεσθαι
τοὺς ἄνδρας ἐν παντὶ τόπῳ· ἐπαίροντας
ὁσίας χεῖρας· καὶ ἐπὶ τούτοις· εἴσελθε
εἰς τὸ ταμεῖόν σου καὶ πρόσευξαι τῷ
πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ πάλιν· ἀ-
διαλείπτως προσεύχεσθε· ὁ δὲ εἰσελθὼν
εἰς τὸ ταμεῖον αὐτοῦ· καὶ ἀδιαλείπτως
προσευχόμενος, τὴν ἐν παντὶ τόπῳ προσευ-
χὴν πεπλήρωκε· καὶ πάλιν φησίν· οὐ πορ-
νεύσεις·